καὶ ν· οἷον, τὰ μούσα, ταῖν μούσαιν. τῆς δὲ γ^ης κλίσεως ὁμοί-ως, τροπῇ μέντοι τοῦ ω, εἰς οιν· τῷ λόγῳ, τοῖν λόγοιν. τῆς δὲ δ^ης ἀπὸ τῆς γενικῆς, καὶ δοτικῆς δυϊκῆς κοινῆς, τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα, ὑπογραφομένου καὶ τοῦ ι· οἷον τοῖν με-νελάοιν, τοῖν μενελέῳν.

## Περὶ τῶν διαλέκτων τῆς β^ας κλίσεως.

Ἡ γενικὴ, καὶ δοτικὴ πληθυντικὴ τὰς αὐτὰς ἔχουσι διαλέκτους, ἃς ἡ γενικὴ, καὶ δοτικὴ τῆς α^ης· τὰ δὲ λοιπὰ γνωστά εἰσιν ἐκ τῶν προειρημένων. οἱ ποιηταὶ πολλὰ ταύτης τῆς κλίσεως τῶν ὀνομάτων τῇ προσθήκῃ τῆς φι, ἢ φιν, συλλαβῆς αὐξάνουσι. τοῦτο δὲ γίνεται οὐ μόνον ἐν τῇ εὐθείᾳ, ἀλλὰ καὶ ἐν ταῖς πλα-γίαις· καὶ οὐ μόνον ἐν τῷ ἑνικῷ ἀριθμῷ, ἀλλὰ καὶ ἐν τῷ πλη-θυντικῷ ἀποβολῇ τοῦ συμφώνου, ὃ μεθ᾽ τύχῃ ἐν ταῖς πλα-γίαις.

Εἰσὶ δὲ τὰ τοιαῦτα ἄκλιτα, καὶ αἱ πτώσεις αὐτῶν, καὶ ἀριθμοὶ μόνῃ σχεδὸν τῇ τοῦ λόγου διανοίᾳ διακρίνεσθαι δύνανται· καὶ τὰ μὲν εἰς α, τούτων τὸ α εἰς η τρέπουσιν ἰωνικῶς, καὶ ἄλλα τούτων αὐτὸ φυλάττουσιν, ὡς ἐν τοῖς ὑπογεγραμμένοις πα-ραδείγμασιν ὁρᾷς.

| | | |
|---|---|---|
| Ἑτέρα, — ἑτέρηφι. | | Τὰ ὀξύτονα τρέπουσι τὴν |
| νευρά, — νευρῆφι. | | ὀξεῖαν εἰς περισπωμένην. |
| θύρα, — θύρηφι. | | εἰσόμεθα δὲ, ὅτι καὶ ἐν ταῖς |
| βία, — βίηφι. | | πλαγίαις ἀποβάλλεται τὸ |
| οὐρανία, — οὐρανιάφι. | | σύμφωνον· ὡς ἐν ταῦθα ἔντισιν. |

ἐσχάρα